ἄιον οἴκτους οὓς οἰκτίζῃ.
διὰ δὲ στέρνων φόβος ἀίσσει
Τρῳάσιν, αἳ τῶνδ' οἴκων εἴσω
δουλείαν αἰάζουσιν.
ΕΚ. ὦ τέκν', Ἀργείων πρὸς ναῦς ἤδη
κινεῖται κωπήρης χείρ.
ΗΜΙΧ. οἳ 'γὼ τλάμων, τί θέλουσ'; ἦ πού μ' ἤδη
ναυσθλώσουσιν πατρίας ἐκ γᾶς;
ΕΚ. οὐκ οἶδ', εἰκάζω δ' ἄταν.
ΗΜΙΧ. ἰὼ ἰώ.
μέλεαι μόχθων ἐπακουσόμεναι
Τρῳάδες, ἔξω κομίζεσθ' οἴκων·
στέλλουσ' Ἀργεῖοι νόστον.
ΕΚ. ἒ ἕ.
μή νύν μοι τὰν
ἐκβακχεύουσαν Κασάνδραν
πέμψητ' ἔξω,
αἰσχύναν Ἀργείοισιν,
μαινάδ', ἐπ' ἄλγει δ' ἀλγυνθῶ.
[ἰὼ] Τροία Τροία δύσταν', ἔρρεις,
δύστανοι δ' οἵ σ' ἐκλείποντες
καὶ ζῶντες καὶ δμαθέντες.

ΗΜΙΧΟΡΙΟΝ.

οἴμοι. τρομερὰ σκηνὰς ἔλιπον antistr.
τάσδ' Ἀγαμέμνονος ἐπακουσομένα,

---

λόγος ἥκει et ἄιον οἴκ om. *P* | ἥκει mut. in ἵκει *B* | σοὶ μόγος ἥκει F. Gu. Schmidt 156 φόβος] fort. τάρβος, quod aspernatur Seidler 158 αἰάζουσϊ *P* 159 ὦ τέκνον Hartung (τέκν', deleto ὦ, olim Nauck, τέκνον Paley) | ναῦς ἤδη] νόστον Wilamowitz 161 *ΧΟ. O*, nulla nota in *P*, corr. Musgrave | οἳ ἐγὼ *O* | τλάμων *P*, μελέα *O* | μ' ἤδη *O*, γε δὴ *P*, με δὴ *H*, τλάμων delet Kirchhoff, τί θέλουσ' eicit Hartung, fort. οἳ 'γὼ τλάμων, τί θέλουσ'; οὔ που ναυσθλώσουσ' ἐκ πατρίας ἐμὲ γᾶς 162 ναυσθλώσουσι *OP* | πατρίας] Bothe, πατρῴας libri | ἐκ *O*, ἐπὶ *P*, unde ἀπὸ Aldina 163 *ΕΚ.* om. *OP*, habet *H* 164 *ΗΜΙΧ. O*, *ΧΟ. P* 165 μόχθον *O* | ἐπακουσέμεναι *N* 166 ἔξω κομίσασθ' Aldina, ἐξορμίζεσθ' Headlam 169 μή νύν] Hermann, μὴ νῦν *OP* 170 βακχεύουσαν Aldina | κασσάνδραν *P* 171 πέμψετ' *P* | ἔξω πέμψητ' Nauck | αἰσχύνην *P* | Ἀργείοισιν] Heath, ἀργείοισι *OP* 172 ἄλγεσι *P* | ἀλγυνθῶ ἰώ *BN* 173 ἰὼ delevit Seidler 174 δύστανον *P* | σε *P* | ἐκλείποντες] Burges, ἐκλιπόντες *OP* 176 *ΧΟ. OP*, vide ad v. 153 | τρομερὰς *C* | 177 ἐπακουσομέναν *C*, ἐκπευσομένα Nauck